Οικουμενικον Πατριαρχειον Ökumenisches Patriarchat

Ἱερὰ Μητρόπολις
Αὐστρίας καὶ
Ἐξαρχία Οὐγγαρίας
καὶ Μεσευρώπης

Heilige Metropolis
von Austria und
Exarchat von Ungarn
und Mitteleuropa

Ἐπὶ τὰς Πηγὰς

Κυριακή, 22 Ἰουνίου 2025

Κυριακή Β' Ματθαίου
Μνήμη τῶν Ἁγίων Εὐσεβίου Ἱερομάρτυρος,
Ζήνωνος καὶ Ζηνᾶ τῶν Μαρτύρων.

Ἑωθινὸν Εὐαγγέλιον Β΄ (Μρκ ις΄: 1–8)

Καθίσματα

Ἦχος α΄

Τὸν τάφον Σου Σωτήρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ τοῦ ὀφθέντος Ἀγγέλου ἐγένοντο κηρύττοντος Γυναιξὶ τὴν Ἀνάστασιν. Σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην, Σοὶ προσπίπτομεν, τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

Σταυρῷ προσηλωθείς, ἑκουσίως Οἰκτίρμον, ἐν μνήματι τεθείς, ὡς θνητὸς Ζωοδότα, τὸ κράτος τοῦ θανάτου συνέτριψας, Δυνατὲ τῷ θανάτῳ Σου. Σὲ γὰρ ἔφριξαν, οἱ πυλωροὶ οἱ τοῦ ᾅδου· Σὺ συνήγειρας, τοὺς ἀπ' αἰῶνος θανόντας, ὡς μόνος φιλάνθρωπος.

Μαρία, τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία καὶ βοήθεια καὶ κραταιὰ προστασία· καὶ σώζεις τοὺς δούλους σου.

Εὐλογητάρια

Ἦχος πλ. α΄

Τῶν Ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν Σε ἐν νεκροῖς λογισθέντα· τοῦ θανάτου δέ, Σωτήρ,

Zu den Quellen

Sonntag, 22. Juni 2025

2. Matthäus Sonntag
Gedächtnis der hll. Hieromärtyrer Eusebius
und der Märtyrer Zeno und Zenas .

Morgenevangelium II (Mk 16,1–8)

Kathismata

Erster Ton

Als die Soldaten, Erlöser, die Dein Grab, bewachten, durch das strahlende Lichte des erschienenen Engels wie tot wurden, verkündete er den Frauen die Auferstehung. Dich preisen wir, den Vernichter der Vergänglichkeit, vor Dir fallen wir nieder, dem aus dem Grab Erstandenen und unserem einzigen Gott.

Auf freiem Willen wurdest Du ans Kreuz geheftet, Barmherziger, und ins Grabmal gelegt, als sterblicher Lebensspender hast Du mit Deinem Tod die Macht des Todes zerstört. Denn vor Dir erzitterten die Wächter der Unterwelt, Du hast die seit Ewigkeiten Gestorbenen mitauferweckt, Du einzig Menschenliebender.

Maria, du ehrwürdiges Gefäß des Gebieters, richte uns in den furchtbaren Abgrund der Verzweiflung, Verfehlungen und Bedrängnisse Gefallene wieder auf. Denn du bist die Rettung und Hilfe der Sünde und ihr machtvoller Schutz. Und du rettest Deine Diener.

Eulogetaria

Fünfter Ton

Das Engelsheer war bestürzt, als es Dich unter die Toten gezählt sah, den Erlöser, der die

τὴν ἰσχὺν καθελόντα καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα καὶ ἐξ Ἅιδου πάντας ἐλευθερώσαντα.

Λίαν πρωΐ, Μυροφόροι ἔδραμον πρὸς τὸ μνῆμά Σου θρηνολογοῦσαι· ἀλλ' ἐπέστη πρὸς αὐτὰς ὁ Ἄγγελος καὶ εἶπε· θρήνου ὁ καιρὸς πέπαυται· μὴ κλαίετε, τὴν Ἀνάστασιν δέ, Ἀποστόλοις εἴπατε.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφεὶμ κράζοντες τό· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Ἐξαποστειλάριον

Ἦχος β΄

Τὸν λίθον θεωρήσασαι, ἀποκεκυλισμένον, αἱ Μυροφόροι ἔχαιρον· εἶδον γὰρ Νεανίσκον, καθήμενον ἐν τῷ τάφῳ, καὶ αὐτὸς ταύταις ἔφη· Ἰδοὺ Χριστὸς ἐγήγερται, εἴπατε σὺν τῷ Πέτρῳ, τοῖς Μαθηταῖς· Ἐν τῷ ὄρει φθάσατε Γαλιλαίας, ἐκεῖ ὑμῖν ὀφθήσεται, ὡς προεῖπε τοῖς φίλοις.

Στιχηρὰ Ἀναστάσιμα

Ἦχος α΄

Ὑμνοῦμέν Σου Χριστέ, τὸ σωτήριον πάθος, καὶ δοξάζομέν Σου τὴν ἀνάστασιν.

Ὁ Σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε, ὡς μόνος παντοδύναμος.

Ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ ἀναστάσει Σου Χριστέ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν Σε.

Τὴν θεοπρεπῆ Σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν Σε Χριστέ· ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί· ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας Σταυρόν· ἀνέστης ἐκ τοῦ Τάφου, ὡς ἐκ παστάδος προελθών, ἵνα σώσῃς τὸν κόσμον· Κύριε δόξα Σοι.

Δοξαστικόν

Ἦχος β΄

Μετὰ μύρων προσελθούσαις, ταῖς περὶ Μαριὰμ Γυναιξί, καὶ διαπορουμέναις, πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ, ὡράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος Νεανίας, καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς. Ἠγέρθη γὰρ φησίν, Ἰησοῦς ὁ Κύριος· διὸ κηρύξατε τοῖς κήρυξιν αὐτοῦ Μαθηταῖς εἰς τὴν

Macht des Todes gebrochen und mit Ihm Adam auferweckt hat und alle aus der Unterwelt befreit.

Frühmorgens eilten die Salbölträgerinnen voll Klagen zu Deinem Grab, doch trat ihnen dort der Engel entgegen und sprach: Die Zeit der Klage ist vorbei, weint nicht, sondern verkündet den Aposteln die Auferstehung!

Wir verehren den Vater und Seinen Sohn und den Heiligen Geist, die Heilige Dreifaltigkeit, eins in ihrem Wesen, und rufen mit den Seraphim: Heilig, heilig, heilig bist Du, Herr.

Exaposteilarion

Zweiter Ton

Als sie den Stein weggewälzt sahen, freuten sich die Myronträgerinnen. Denn sie sahen einen Jüngling im Grab sitzen, der zu ihnen sprach: Seht, Christus ist auferstanden, sagt es Petrus und den Jüngern: Geht zu den Bergen Galiläas, dort wird Er euch erscheinen, wie Er den Jüngern vorhersagte.

Auferstehungsstichera

Erster Ton

Wir preisen, Christus, Dein heilbringendes Leiden und verherrlichen Deine Auferstehung.

Das Kreuz hast Du auf Dich genommen und den Tod vernichtet, auferstanden bist Du von den Toten, befriede nun auch unser Leben, Herr, als einzig Allmächtiger!

Die Unterwelt hast Du entwaffnet und den Menschen erweckt in Deiner Auferstehung, Christus. Würde uns, Dir in reinem Herzen zu singen und Dich zu verherrlichen!

Deine Gott angemessene Herabkunft verherrlichen wir und singen Dir, Christus: Geboren wurdest Du aus der Jungfrau und warst doch von Ewigkeit her untrennbar beim Vater. Als Mensch hast Du gelitten und nahmst doch aus freiem Willen das Kreuz auf Dich. Auferstanden bist Du aus dem Grab, wie aus einem Brautgemach trittst, um die Welt zu retten. Herr, Ehre sei Dir!

Doxastikon

Zweiter Ton

Als die Frauen um Maria mit dem Myron zum Grab kamen und sich fragten, wie sie das Gewünschte erlangen könnten, da sahen sie den Stein weggewälzt und einen göttlichen Jüngling, der ihnen den Sturm ihrer Seelen stillte. Denn auferstanden ist, so sprach er, Jesus, der Herr. So kündet den Kündern, seinen Jüngern, nach Galiläa zu laufen,

Γαλιλαίαν δραμεῖν, καὶ ὄψεσθε Αὐτόν, ἀναστάντα ἐκ νεκρῶν, ὡς ζωοδότην καὶ Κύριον.

Ἀπολυτίκιον Ἀναστάσιμον

Ἦχος α΄

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν Σου Σῶμα, ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων Σοι ζωοδότα. Δόξα τῇ Ἀναστάσει Σου Χριστέ, δόξα τῇ βασιλείᾳ Σου, δόξα τῇ οἰκονομίᾳ Σου, μόνε φιλάνθρωπε.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Ἦχος δ΄

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον

Ἦχος β΄

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία, πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς, ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Προκείμενον

Ἦχος α΄

Γένοιτο, Κύριε, τὸ ἔλεός Σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ Σέ.
Στίχ. Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις.

Ἀποστολικὸν Ἀνάγνωσμα

Ρωμ β' 10–16

Ἀδελφοί, δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι· οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ. Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν

und Ihn, den Auferstandenen von den Toten zu sehen, als Lebensspender und Herr.

Auferstehungsapolytikion

Erster Ton

Der Stein ward versiegelt von den Juden und die Soldaten bewachten Deinen makellosen Leib. Doch Du bist, Erlöser, am dritten Tage auferstanden und hast der Welt das Leben geschenkt. Darum preisen Dich die himmlischen Mächte, Du Lebensspender. Ehre Sei Deiner Auferstehung Christus, Ehre Sei Deinem Reiche, Ehre Sei Deinem Heilsplan, einzig Menschenliebender.

Apolytikion der Kirche

Vierter Ton

Befreier der Gefangenen und Beschützer der Armen, Arzt der Kranken und Verteidiger der Herrschenden, du Träger des Siegeszeichens und Großmärtyrer Georg, bitte Christus, Gott, unsere Seelen zu erretten.

Kontakion

Zweiter Ton

Der Christen unfehlbare Behüterin, stete Fürbitte vor dem Schöpfer: Überhöre nicht das Flehen der Sünder, sondern eile, Gütige, uns zu helfen, die wir dir gläubig rufen. Eile dich und bitte für uns um Hilfe, Gottesgebärerin und ewiger Schutz für alle, die dich ehren.

Prokeimenon

Erster Ton

Dein Erbarmen, Herr, komme auf uns herab, denn auf Dich haben wir gehofft.
Vers: Jubelt, ihr Gerechten, im Herrn. Den Rechtschaffenen gebürt Lobgesang.

Apostellesung

Röm 2,10–16

Brüder, Herrlichkeit, Ehre und Friede werden jedem zuteil, der das Gute tut, zuerst dem Juden, aber ebenso dem Griechen; denn es gibt bei Gott kein Ansehen der Person. Denn die ohne das Gesetz sündigten, werden auch ohne das Gesetz zugrunde gehen, und die unter dem Gesetz sündigten, werden durch das Gesetz gerichtet werden. Denn nicht die sind vor Gott gerecht, die das Gesetz hören, sondern die das Gesetz tun; die werden für gerecht erklärt werden. Denn wenn Heiden, die das Gesetz

ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων – ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ.

nicht haben, von Natur aus das tun, was im Gesetz gefordert ist, so sind sie, die das Gesetz nicht haben, sich selbst Gesetz. Sie zeigen damit, dass ihnen die Forderung des Gesetzes ins Herz geschrieben ist; ihr Gewissen legt Zeugnis davon ab, ihre Gedanken klagen sich gegenseitig an und verteidigen sich – an jenem Tag, an dem Gott, wie ich es in meinem Evangelium verkünde, das, was im Menschen verborgen ist, durch Jesus Christus richten wird.

Εὐαγγέλιον

Μτθ. δ' 18–23

Τῷ καιρῷ ἐκείνῳ, περιπατῶν ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδεν δύο ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς. Καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν Αὐτῷ. Καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν καταρτίζοντας τὰ δίκτυα αὐτῶν· καὶ ἐκάλεσεν αὐτούς. Οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν Αὐτῷ. Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ Εὐαγγέλιον τῆς Βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Evangelium

Mt 4,18–23

In jener Zeit, als Jesus am See von Galiläa entlanging, sah Er zwei Brüder, Simon, genannt Petrus, und seinen Bruder Andreas; sie warfen gerade ihr Netz in den See, denn sie waren Fischer. Da sagte Er zu ihnen: Kommt her, mir nach! Ich werde euch zu Menschenfischern machen. Sofort ließen sie ihre Netze liegen und folgten Ihm nach. Als Er weiterging, sah Er zwei andere Brüder, Jakobus, den Sohn des Zebedäus, und seinen Bruder Johannes; sie waren mit ihrem Vater Zebedäus im Boot und richteten ihre Netze her. Er rief sie und sogleich verließen sie das Boot und ihren Vater und folgten Jesus nach. Er zog in ganz Galiläa umher, lehrte in den Synagogen, verkündete das Evangelium vom Reich und heilte im Volk alle Krankheiten und Leiden.

Σήμερα εἶναι Κυριακή

Σὲ κάθε Θεία Λειτουργία, μετέχοντας στὸ Μυστήριο τῆς Θείας Εὐχαριστίας ζοῦμε μέσα στὴν Ἐκκλησία τὴν ἐκ νεκρῶν Ἀνάσταση τοῦ Θεανθρώπου Κυρίου Ἰησοῦ Χριστοῦ καὶ τὴν εἰς Οὐρανοὺς ἀποκατάστασή Του. Κάθε Κυριακὴ εἶναι ἀφιερωμένη ἀποκλειστικὰ σ'Ἐκεῖνον. Ψάλλομε τὰ ἀναστάσιμα τροπάρια καὶ νοιώθομε ὅτι εἶναι ἀνοικτὸς ὁ δρόμος γιὰ μιὰ ἄλλη, ἀληθινὴ Ζωὴ χωρὶς φθορὰ καὶ ἀτέλειες, ἀρκεῖ νὰ προσπαθοῦμε συνεχῶς νὰ Τὸν πλησιάσωμε γιὰ νὰ ἑνωθοῦμε μαζί Του.

Heute ist Sonntag

In jeder Göttlichen Liturgie, in der wir teilhaben am Mysterium der Heiligen Eucharistie leben wir in der Kirche die Auferstehung des Gottmenschen Jesus Christus von den Toten und Seine glorreiche Himmelfahrt. Jeder Sonntag ist ausschließlich Ihm geweiht. Wir singen die Auferstehungstroparien und spüren, dass der Weg hinein in ein anderes, wahres Leben ohne Vergänglichkeit und Unvollkommenheiten weit offen steht – es reicht, wenn wir uns Ihm nähern und mit Ihm vereinen